47.

E # ΕΡΩΤΙΚΟΣ

(Plan. 70.)

Collocuntur Flavianus et Autobulus Plutarchi filius aliis (748 f) praesentibus

**1.** *Φ. Ἐν Ἑλικῶνι φής, ὦ Αὐτόβουλε, τοὺς περὶ Ἔρωτος λόγους γενέσθαι, οὓς εἴτε γραψάμενος εἴτε καταμνημονεύσας τῷ πολλάκις ἐπανερέσθαι τὸν πατέρα νυνὶ*
F *μέλλεις ἡμῖν δεηθεῖσιν ἀπαγγέλλειν;*

*ΑΥ. Ἐν Ἑλικῶνι παρὰ ταῖς Μούσαις, ὦ Φλαουιανέ, τὰ Ἐρωτίδια Θεσπιέων ἀγόντων· ἄγουσι γὰρ ἀγῶνα πενταετηρικὸν ὥσπερ καὶ ταῖς Μούσαις καὶ τῷ Ἔρωτι φιλοτίμως πάνυ καὶ λαμπρῶς.*

*Φ. Οἶσθ' οὖν ὃ σοῦ μέλλομεν δεῖσθαι πάντες οἱ πρὸς τὴν ἀκρόασιν ἥκοντες;* |

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415473934/342 UNIVERSITÄT LEIPZIG